παρατέλευτον ὀνομάζεται, δακτυλικὴ βάσις. τὸ εἰκοστόν, A ὅμοιον τῷ πεντεκαιδεκάτῳ.

Κλέος οὐρανόμηκες
Ἐν βροτοῖσιν ἕξεις.
Στ. Τί πείσομαι;
Σω. Τὸν πάντα χρόνον μετ' ἐμοῦ,
Ζηλωτότατον βίον ἀν-
θρώπων διάξεις.
Στ. Ἆρά γε τοῦτ' ἄρ' ἐγὼ
B Ποτ' ὄψομαι;
Σω. Ὥστε γέ σου πολλοὺς
Ἐπὶ ταῖσι θύραις
Ἀεὶ καθῆσθαι,
Βουλομένους ἀνακοινοῦσθαι
Τε καὶ ἐς λόγον ἐλθεῖν
Πράγματα κἀντιγραφὰς
Πολλῶν ταλάντων
Ἄξια σῇ φρενὶ
C Συμβουλευσομένους μετὰ σοῦ.
Χο. Ἀλλ' ἐγχείρει τὸν πρεσβύτην, ὅ, τι περ μέλλεις προδιδάσκειν
Καὶ διακίνει τὸν νοῦν αὐτοῦ καὶ τῆς γνώμης ἀποπειρῶ.
Σω. Ἄγε δὴ κάτειπέ μοι σὺ τὸν σαυτοῦ τρόπον.
Ἵν' αὐτὸν εἰδὼς ὅστις ἐστὶ μηχανὰς
D Ἤδη 'πὶ τούτοις πρὸς σὲ καινὰς προσφέρω.
Στρ. Τί δέ, τειχομαχεῖν μοι διανοεῖ πρὸς τῶν θεῶν;
Σω. Οὔκ. ἀλλὰ βραχέα σου πυθέσθαι βούλομαι,
Εἰ μνημονικὸς εἶ. Στ. Δύο τρόπω νὴ τὸν Δία.
Εἰ μέν γ' ὀφείλεταί μοι μνήμων πάνυ.
Ἐὰν δ' ὀφείλω, σχέτλιος, ἐπιλήσμων πάνυ.
Σω. Ἔνεστι δῆτά σοι λέγειν ἐν τῇ φύσει;
E Στ. Λέγειν μὲν οὐκ ἔνεστ', ἀποστερεῖν δ' ἔνι.
Σω. Πῶς οὖν δυνήσει μανθάνειν; Στ. Ἀμέλει καλῶς.
Σω. Ἄγε νῦν ὅπως ὅταν τι προβάλωμαι σοφὸν
Περὶ τῶν μετεώρων, εὐθέως ὑφαρπάσει.
Στ. Τί δαί; κυνηδὸν τὴν σοφίαν σιτήσομαι;
Σω. Ἄνθρωπος ἀμαθὴς οὑτοσὶ καὶ βάρβαρος.
F Δέδοικά τ' ὦ πρεσβῦτα, μὴ πληγῶν δέει.
Φέρ' ἴδω τί δρᾷς, ἤν τίς σε τύπτῃ. Στ. Τύπτομαι.
Κἄπειτ' ἐπισχὼν ὀλίγον, ἐπιμαρτύρομαι.
Εἶτ' αὖθις ἀκαρῆ διαλιπὼν, δικάζομαι.

*Decus usque ad Olympum*
*Proferes in orbe.*
ST. *Quid hinc feram?*
SO. *Quid: tempore iam reliquo*
*Vitam speciosissimam ages*
*Mecum beatus.*
ST. *Quando erit hoc igitur*
*Vt aspiciam?*
SO. *Tum tuas multos*
*Faciam ante fores*
*Semper sedere:*
*Qui tua consilia exquirant,*
*Cupiántque loqui ad te:*
*Dignáque mox pretio*
*Rescripta tecum,*
*Atque negocia*
*Tractent, ex animo usque tuo.*
CH. *Eia, aggredere hunc vetulum, quæ constituisti iam antè, docere:*
*Animum ipsius prætenta, & vires explora ingenij eius.*
SO. *Age tu, dic primùm hoc mihi, qui sint mores tui?*
*Vt illis cognitis, cuiusmodi sient,*
*Nouas in te admoueam nunc machinas meas.*
ST. *Quid ergo: vtrum tu expugnare hîc me cogitas?*
SO. *Nō, sed pauca ex te interrogare volo. valen' Memoria?* ST. *Ita per Iouem: & gemino sanè modo.*
*Nam si mihi quis debet: memor sum scilicet:*
*Sin ego cui debeo: obliuiosus sum nimis.*
SO. *Sed nulláne vis dicendi tibi naturâ inest?*
ST. *Vis dicendi haud inest, sed vis spoliandi inest.*
SO. *Quomodo igitur poteris discere?* ST. *Quietus es.*
SO. *Vide sis, vt si quid de rebus sublimibus*
*Proposuero doctum, tu isthuc surripias statim.*
ST. *Quid? vtrúmne ego doctrinam arripiam, quasi canis?*
SO. *Homo hic ineptus, & rudis est, & barbarus.*
*Metuo tibi, senex, ne flagris egeas. age*
*Si quis te verberat, quid pateris?* ST. *Verbera.*
*Sed vbi me paulum continui, testes cito:*
*Rursum acquiescens paulum, mox in ius voco.*

Σχόλια. Οὐρανόμηκες.] μέγιστον παρὰ τὸ ἐπουράνιον κλέος εἶπε. πάλιν δὲ ὡς φιλόσοφος ἀπὸ τοῦ οὐρανοῦ τὴν λέξιν παρήγαγε, διὰ τὸ διδάσκειν τὰ οὐράνια. Πράγματα G κἀντιγραφάς.] οὕτω γὰρ ἐκάλουν τὰς δίκας πάσας, πράγματα κἀντιγραφάς. διὰ τὰς ἀντιθέσεις καὶ λύσεις τῶν ἐπιφερομένων. τὸ δὲ ἑξῆς ἀνακοινοῦσθαι τὰ πράγματα καὶ τὰς ἀντιγραφάς. Ἄξια σῇ φρενί.] τὰ ἄξια πράγματα σοῦ τῇ σῇ φρενὶ βουλευσομένους. Ἀλλ' ἐγχείρει.] ἐν ἐκθέσει δίστιχον ἀναπαιστικὸν τετράμετρον καταληκτικόν. εἰώθασι γὰρ μετὰ τὰς τοιαύτας περιόδους ἐπάγειν δίστιχον. ἐπὶ τῷ τέλει τῆς μὲν ἐπεκθέσεως, δύο συνήθως διπλαῖ ἔξω νενευκυῖαι. τῆς δὲ διστιχίας παράγραφος. καλεῖται δὲ ταῦτα πολυσχημάτιστα, διὰ τὸ διάφορα δέχεσθαι μέτρα. τὰ δ' ἐφεξῆς λϛ ἰαμβικά εἰσιν ἀκατάληκτα τρίμετρα. ὧν τελευταῖον, χώρει τί κυπτάζεις ἔχων περὶ τὴν θύραν. ἐπὶ τῷ τέλει κορωνίς. Τειχομαχεῖν μοι διανοεῖ.] ἐντεῦθεν παρίστησι τὴν ἑαυτοῦ διάνοιαν. τὸ γὰρ μηχανάς, οὐχ ὡς ὁ Σωκράτης εἶπεν οὕτω καὶ αὐτὸς ἐνόησεν. ἀλλ' εἰς τειχομαχικὰ ὄργανα. ἐξεπίτηδες